B V W

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231731-p0001-1

1 Γρηγορίου Ναζιανζηνοῦ τοῦ θεολόγου κατὰ Εὐνομιανῶν προδιάλεξις.
2 Gregorij Nysseni ad Eustathiam et Ambrosiam, et Basilissam, Epistola.
3 Πλάτωνος Νόμων Προοίμιον. Stenzoda
4 Λουκιανοῦ περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ: cum epla Casel: ad Ernestũ ab
5 Caselij Ἐπιτάφιος Ioann: Borcholdo perscriptus.
6 — — Ῥήτωρ, sive Magister dicendi.
7 Θεμιστίου περὶ φιλίας λόγος.
8 Caselij Νέος καὶ προδιδάσκαλος.
9 — — De Nobilitate libellus.
10. — — Παράδοξα duo in educatione principum.
11. — — Epistola de obitu Magni Zamoscij, ad Thomã Zamosc: filium.
12. Alberti Clampij Mulus Arcadicus, et paucula aliquot alia poemata.
13. Laurent: Rhodomani Ἔπος Manibus Magni Zamoscij, cum Epistolis aliquot Casel:
14. Theodori Adami Panegyricus solenni introductae Acad: Iuliae die habitus.
15. Bartholomaei Coppen Oratio funebris, de obitu princip: Frid: IV. comit: palatin:
16. Rudolphi Diepholdi Nonae April: in Natal: ejus princip: Frid. Vlder: duc: Brun:
17. Christophori Heidmanni Oratio de Vero ac primo hominis bono.
18. Reditus in patriam ex peregrinatione aliquot annorũ, Frid. Vlder: ducis Brunsuic:
19. Adami Luchtenij oratio in resignatione Magistratus scholast: ubi et de calumnia.
20. — — — — Programma de obitu Ioan: Carol: Caselij.
21. — — — — programma de obitu Henrici Julij a Lippa.
22. — — — — programma de obitu Francis: Parcovij.
23. Tobiae Paurmeisteri epistola respons: ad litteras Ioan: Marsilij.
24. Caselij epistola ad nuptias Henrici Julij Wittershaim:
25. Conradi Hornej Epos, memoriae Polycarpi Lyseri consecrat:
26. — — — — Carmen ad nuptias Henningi von der Schulenburg.
27. — — — — Gratulatio, Adamo Luchtenio de Rectoratu scripta.
28. — — — — Carmen ad Simonem Struvium, in Ethic: disput:
29. Quorundam doctorum virorum carmina Cornelio Martinj scripta.
30. Conradi Rittershusii epistola ad Andreã Paull: patricium Brunsuicens:
31. Caselii epistola ad Senatum Göttingensem.

Sequuntur et paucula aliae materiae quarum titulos et auctores huc adscribi chartae angustia non passura erat.

# ΘΕΜΙΣΤΙΟΥ

## περὶ φιλίας λόγος.

Εἰ δή ποτε, ὦ μακάριοι, ἂν μὲν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλησπόντου κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν, ἀρξαμένους ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν, καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστωνται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ' αὐτῶν συμφοράς· τῶν δὲ ὑπὲρ φιλίας λόγων, καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν, οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν, οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής· ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴσως σφόδρα ὀλίγου ἄξιος ὤν· ὅτῳ δὲ εὐπετὲς εἶναι δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
Πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους.

τί οὖν ἐστιν, ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε, (φιλήκοοι γάρ ἐστε, καὶ πᾶν ἀκούετε προθύμως ὅ,τι ἄν τις λέγῃ) λέγουσι δὲ οὐ ταῦτα οἱ λέγοντες· ἀλλ' οἱ μὲν ἐπαγινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν δεινότητα, οἱ δὲ ᾄδουσι καὶ προσᾴδουσι, γλυκεῖαν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν· λόγους δὲ, δι' οὓς ἂν ἄνθρωποι ἄμεινον ζῶσιν, οὐ σφόδρα εὐπορεῖν μοι δοκεῖτε, οὐχ ὑμετέρᾳ κάκῃ, τῶν δὲ λεγομένων φιλοσοφεῖν, οἳ σφίσιν ἀποχρῶν ὑπειλήφασιν ἐν γωνίᾳ μόνῃ, πρὸς τὰ μει-

ράκια ψιθυρίζειν, φεύγειν δὲ τὰ μέσα τῆς πόλεως, κατὰ τὸν Καλλικλέους ὀνειδισμὸν, καὶ τὰς ἀγορὰς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας. τούτους μὲν οὖν ἐατέον ἐνταυθοῖ μένειν, οὗπερ μένειν ἐθέλουσι· ἡμῖν δὲ προσακτέον εἰς τὸ φῶς τοὺς λόγους καὶ συνεθιστέον αὐτοὺς ὄχλον τε ἀνέχεσθαι, καὶ θόρυβον ὑπομένειν καὶ δήμου φωνὴν συγκαθημένου, πάντως εἰ καθ' ἕνα εὖ ποιεῖν ἱκανοὶ, καὶ πολλοὺς ἅμα δυνήσονται. οὐ γὰρ τοῖς σιτίοις ἴσως ἐοίκασιν, ὅσα ἑνὶ μὲν καὶ δυοῖν αὐτάρκη, πλείους δὲ οὐκέτ' ἂν κορέσαι δαιτυμόνας· ἀλλὰ ταῖς ἀκτῖσι μᾶλλον τοῦ μεγάλου θεοῦ, αἳ τοῖν δυοῖν ὀφθαλμοῖν τοὺς μυρίους οὐχ ἧττον καταλάμπουσιν. ἀλλ' ἐπιστρεπτέον τὸν λόγον, οὗ παράγοντες αὐτὸν ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ φιλίππῳ τέχνην γινώσκειν, ᾗ διαγνώσεται τοὺς καλοὺς ἵππους τῶν φαυλοτέρων, καλὸν δὲ καὶ φιλοχρύσῳ τὴν λίθον πεπᾶσθαι, ᾗ βασανίζουσι τὸν χρυσόν· κτήσαιτο δ' ἂν καὶ βοῦς ἀμείνους ὁ βοῶν ἀρετὴν ἐπεσκεμμένος, καὶ πλοῖον ὁ ναυτικὸς, καὶ κύνας ὁ κυνηγέτης. ἐγὼ δὲ τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ οὔτε ἀγαπῶ σφόδρα, οὔτε ἐπίσταμαι κρίνειν· ἑνὸς δὲ εἰμὶ κτήματος ἐραστὴς, φιλίας ἀληθινῆς καὶ ἀδόλου, καὶ τοῦτο ἂν ἑλοίμην ὑπάρξαι μοι μᾶλλον, ἢ Νισαῖον ἵππον, καὶ κύνα Κελτὸν, καὶ τὸ Δαρείου χρυσίον, καὶ τὸν ἐν Κρήτῃ ταῦρον, καὶ τὴν Ἀχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ομηρος ἐν τῷ οὐρανῷ φέρουσαν ὅλον τὸν οὐρανὸν, ἠλιόν τε καὶ σελήνην, ἀντικρὺ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας, καὶ γαμοῦντας, καὶ δικαζομένους, καὶ πολεμοῦντας. ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκεῖνο φαυλότερον, ὥς γε Ἀχιλλεὺς οὐδ' ὁπωσοῦν ῥᾴων ἐγένετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα· ἀλλὰ καὶ προήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ ἀνιῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμότερος γένοιτο. ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος, συνελεξάμην ἐμαυτῷ πολλὰ ἄττα βασανιστήρια, καὶ μεταλλῶ, εἴτινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν. σὲ δὲ, ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἄν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες, αἵματι τὸν ἔρωτα ἔκριναν, καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυά-

λυάρχου πλέον τί ἂν καὶ λέγοιμεν ὁποίων ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά. τὸ ἔργον εὐτυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, εὐτυχέστερον δὲ ὅτῳ πολλὰς μὲν πόλεις, πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ δύο ὦτα καὶ τὼ δύο ὀφθαλμὼ, καὶ τὸ σῶμα ἓν ὂν, καὶ μία ἐνοῦσα ἡ ψυχή. εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται θᾶμα καὶ ἀκούσεται τῶν οὐ πλησίον, καὶ εἴσεται τὰ πόρρω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ θεοί. πῶς οὖν δή τις τό γε τοιοῦτον ἀγαθὸν εὕροιτ' ἂν, καὶ εὑρὼν θηρεύσει, καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο; ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας, καὶ τὰ σύμβολα καὶ τὰ σημεῖα γινώσκειν ἀκριβῶς, καὶ ἐπιλέγεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες, κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἄτομον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία εὐδαίμονα φιλίαν μιμεῖται, μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον, ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία, ὥστε καὶ μέχρις εὐνῆς ἔλθοις ἂν πολλάκις, τοῖς ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου· καὶ λέγει τις ὀρθῶς ἄρα τῶν τοῦ γέλωτος ποιητῶν, ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον, ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ προσπέφυκε καὶ κακόν. τοῦτο οὖν ἐστιν ὃ διόλλυσι τοὺς πολλοὺς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς Ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ θεὸν ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ σὺν Ἀθηνᾷ καὶ χεῖρα κινεῖν ὁ τῆς παροιμίας λόγος φησί. πρῶτον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φι-



λόσο-

λέσοργός τε καὶ φιλόνεικος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παραμύθιον τῆς ξυγκολλήσεως. εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν προοιμίων, κελεύοντα πρὸ πείρας γινώσκειν, ἃ μετὰ πείρας οἷόν τε μόνης, εὖ τοι γινωσκέτω μὴ δεήσεσθαι μαντικῆς. οὐδεὶς γὰρ ἡμῶν, κατὰ τοὺς ποιητάς, ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ᾽ ἀπὸ πέτρης· ἀλλ᾽ ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφός, ἴσως καὶ συγγενής· ὅταν οὖν ἐθέλῃς γινώσκειν, ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρῶτον, ὅπως ἐχρήσατο τῷ πατρί, ἢ ὅπως τῇ μητρί, ἢ ὅπως τῷ ἀδελφῷ χρῆται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. εἰ μὲν γὰρ τούτοις πρᾶός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω· εἰ δὲ χαλεπὸς καὶ δυσμενής, σοὶ πόρρωθεν ἂν εἴη φευκτός· ὁ γὰρ πρὸς τὰ ἔνδον πονηρὸς οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός. μετὰ δὲ ταῦτα σκεπτέον, εἰ μὴ παντελῶς ἄφορος εὐχαριστίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ τὰς ἀμοιβὰς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι, οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χαρίτων καὶ λήσμονες, καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ παντὸς τὸ ἔργον ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἐκτίνουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν οὕτω συνδεῖ μᾶλλον εὐχαριστίας, οὔτε διόλλυσιν ἀχαριστίας. καὶ διὰ τοῦτο ὁ Περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅπῃ ἂν ᾖ. οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δέ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος. σκεπτέον δὲ καὶ ὅπως ἔχει τὸ θρέμμα πρὸς ἡδονάς τε καὶ πόνους πολλούς. καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀποφυγγάνει, ταῖς δὲ ἁλίσκεται. πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς ἐν τοῖς ὑπὲρ φιλίας ἀγῶσιν ἀνάγκη. διὰ τί ποτε ἄλλο γνώριμος ὁ οὖν Στροφίου, ἢ ὅτι τὰς σὺν Ὀρέστῃ ταλαιπωρίας τῆς οἴκοι βασιλείας περὶ πλείονος ἐποιήσατο; καὶ μήν που καὶ τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος, εἰ φθόνου κρείσσων. ἢ προσδοκᾷς τινα ἱκανῶς ἂν στέρξαι φίλον, ὃς τοῦτο τὸ νόσημα ἐντὸς ἔχει, ὃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι; οὐ μὴν οὐδὲ τόδε παραλείψεις, ὡς ἐγῷμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλικήν τε καὶ μή, μή σε λάθῃ μετέχουσα ἀνελευθερίας. ἐναντιώτατον γάρ που σμι-

κρολο-

κρολογία ψυχῇ μελλούσῃ φιλίας ἀληθινῆς ἐπορέξασθαι. ὁρῶμεν γὰρ τοὺς καλουμένους φίλους, ὅτι τέως μὲν τὰς δεξιάς τε ἀλλήλοις συμβάλλουσι, καὶ συμπεριπατοῦσι, καὶ συνδιάγουσιν· ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχη τις βάλῃ, ὥσπερ τὰ κυνάρια μεθαλλόμενοι δάκνουσί τε ἀλλήλους καὶ σπαράττουσι. τίς οὖν ὁ πρᾶος καὶ εὔχαρις, μηδὲ φιλοχρήματος, μηδὲ βάσκανος; ἆρα εἰ φιλόδοξος εἴη καὶ πάνυ τοῦ πρωτεύειν ἐξηρτημένος, ἔσθ᾽ ὅπου ἂν εὐκοινώνητος γένοιτο; καὶ τίς οὐκ οἶδεν, ὅτι τὴν ἐκ φιλίας ἰσότητα οὐ σφόδρα ἀνέχεται φιλοτιμία; ὑπερόπτην δὴ καὶ ἀλαζόνα πολλὴν ἰσηγορίαν ζητοῦντι μήτε ἐγκρίνωμεν. οὐ μὴν οὐδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ἐπιτήδειος εἰς συνήθειαν ὁ μεμηνώς; ἐγὼ γὰρ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι. τόδε τί νῦν μετὰ ταῦτα σκεπτέον, εἰ μὴ σφόδρα ἔφ᾽ ἕν τι νένευκε τῶν οὐ πάντη χρηστῶν, κυβείαν, ἢ πεττείαν, ἢ κιθαριστικὴν, ἢ αὐλούς. οὕτω γὰρ ἀνδρὶ εἰς ἕν τι πιεσθὲν αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, τούτῳ γὰρ οὐκ ἂν εἰς τὸ ἀμείνω γίγνοιντο φιλίαι ἰσχυραὶ, ὥσπερ ῥεῦμα ἐπὶ τὸ πρανέστερον ἀποτετραμμέναι. ἆρ᾽ οὖν οὐκ εὐπετὲς ἐξευρεῖν ἄνδρα οὕτω κεκαθαρμένον, ἢ καὶ χρυσοῦ σπανιώτερον ἀρετὴ, καὶ ἀγαπητὸν, ὅτῳ καὶ εἷς που τοιόσδε εἰς τὴν κρίσιν ἀφίκοιτο. οὐκ ἄρα πολύφιλος, οὐδὲ μυριόφιλος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων. καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ᾽ ὀλίγων ἱσταμένῳ, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ,τι χρήσαιτο. σκέψαι γάρ· πολλοὺς ἀνθρώπους οὔτε χαίρειν τοῖς αὐτοῖς, οὔτε ἀνιᾶσθαι δυνατὸν, οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἔφυ καὶ ἀλγεινόν· καὶ τῷ μὲν εὖ ποτὲ, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιακείσεται· καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτὸν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται. ἆρ᾽ οὐκ ἀναγκαῖον αὐτῷ, τιμῶντι τοὺς ἑτέρους, τοῖς ἀτιμουμένοις ἀπεχθέσθαι; τὸ γὰρ τοῦ Ὁμήρου πολὺ ἂν ἀραρώτερον ἐπὶ τῶν φίλων λέγειν ἢ τοῖς λαφύροις, ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον. ἀλλ᾽ ἐπειδὴ χαλεπὰ τὰ καλὰ, καὶ οὔτε αὐτοὶ κακίας ἄπειροι, οὔτε οὓς κρίνομεν, οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ὀντιναοῦν καὶ σμικρὰν κῆρα φέροντα ἐν τῇ ψυχῇ, ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων, εἰ μή τινι παραπλησίῳ μοχθηρίας

εἴδη περιπεπλώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὐτὴν ἅπασα σύμφρωνος· κακία δὲ οὔτε πρὸς ἀρετὴν εὐμενής, οὔτε δυσάρεστος ἑαυτῇ. ὅθεν οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος, οὔτε νοθεῖ νοθής, οὔτε αὐθάδης αὐθάδει. διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως καὶ συγκιρνῷτο. ὑβριστὴς μὲν γὰρ ἀναλγήτῳ προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπής, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον. ἐνέγκοι δὲ ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔμικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής. τοιαίδε μέντοι καὶ τῶν πρόσθεν, ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον, ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἦν δὲ ὁ μὲν αὐτοῖν σκώτμος τε καὶ δραστήριος, δυσκίνητος δὲ ὁ Χαβρίας· ὥστε ὁ μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλους συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πόλεμον ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίαν ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον· Σθένελόν τε αὖ καὶ Διομήδη, τὸν μὲν ἀνεξίκακον, τὸ δὲ, οὐ στέγοντα ὕβριν. ποῖ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου πεποίηκε τὸν βασιλέα τῶν Ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζελείτου τοξείαν. ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργήν, ὁ μὲν οὐκ αἰέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι. θηρεύσονται δὲ ἡμῖν οὗτοι καὶ ἁλώσονται τίνα τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθέντας τοὺς ἄνδρας, ἀλλὰ κύκλῳ περιθρεκτέον αὐτοὺς μετὰ πλείονος προθυμίας, ἢ τοὺς θάμνους οἱ κυνηγέται. ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον· ἥ τε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας· ποίας δῆτα αὐτοῖς ἄρκυς περιστησόμεθα; ἢ ποῖον προθήσομεν δέλεαρ, ὃ μήτε πημανεῖ γευσαμένους, μήτε ὕπουλον καὶ δολερὰν ἕξει τὴν ἡδονήν, ἀλλὰ προσέξεται ἀβλαβῶς καὶ γοητεύσει ξὺν ὠφελείᾳ; θηρία μὲν γὰρ καὶ ἰχθῦς ἄλλα ἄττα δελεάσματι προδεικνύντες αἱροῦσιν οἵ τε ἁσπαλιευταὶ καὶ οἱ κυνηγέται· μόνον δὲ τοῦτο τὸ ζῷον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθόν, ὥστε αὐτοῦ γευσαμένου τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι εὐπετῶς ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ χαννύμενος τοιῷδε ὄντι, οὗτός ἐστιν ὃν πάλαι ἐπεζητοῦμεν· ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετὴν,

ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος, φευκτός· ὁ δὲ, ὡς πονηρὸς, μισητέος. τὰ δὲ καθ᾽ ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἐστὶ, λέγωμεν ἐφεξῆς. προσιτέον δὴ πρῶτον αὐτῷ πόῤῥωθεν, ὥσπερ δὴ τοῖς πώλοις ἠρέμα, χειροήθη ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς, καὶ διαλέγεσθαι ἐπιδεξίως, καὶ συμπαρακαθέζεσθαι, καὶ συμπαραβαδίζειν, καὶ δῆλον γενέσθαι, ὅτι ἥδοιτο ὁρωμένῳ. μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ τόπον, οὗ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις, καὶ ἐν βαλανείοις, καὶ κατὰ θεωρίαν ἢ κατὰ στρατείαν, ἢ ἐν ὁδῶν πορείαις, ἢ ἐν τισὶν ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἄν, ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων· νῦν δὲ ἐὰν λέγω, ὅτι καὶ δεξιὰν ἐμβαλεῖν, καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα, καὶ τὸ θλίψαι τῶν δακτύλων, ἐνίησί τι κέντρον μελλούσης φιλίας, ἀλλὰ καταγελάσονται γὰρ, εὖ οἶδα, καὶ σμικρολόγον ἐροῦσιν· ἐγὼ δὲ ὁρῶν καὶ τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους περιάγονται. ἔοικε γὰρ δὴ πᾶν τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἐνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ᾽ ἑαυτὸν ἐπὶ τὸ σῶμα καταντώσης· ὥστε διὰ τούτου γε ἐθέλειν ἐμφῦναι. δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον, εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν, ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβουλῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ, καθάπερ τῷ οἴνῳ, χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους, οὔτε ἐνταῦθα τῆς ἀληθείας. ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φαρμάκων ἐῤῥωμενέστερόν τε ἅπτεταί τε καὶ ἐνδύεται, ὅταν μὴ αὐτῷ προσφέρηται τῷ φαρμασσομένῳ τηνικάδε, καὶ αὐτὸ ὥσπερ ὕποπτόν τι καὶ ἐπίβουλον ἀπωθοῦνται οἱ ἄνθρωποι. οὐδὲν οὖν, οἶμαι, τῶν τοξευόντων διαφέρουσιν οἱ ἐπαινοῦντες. ἐντονώτερα γὰρ καὶ τούτων τὰ βέλη πόῤῥωθεν ἀφιέντων, ἢ σφόδρα ἐγγύθεν· προσακτέον δὲ οὐκ αὐτῷ μόνῳ τῷ θηρευομένῳ τὰς μηχανὰς, ἀλλὰ κἀκείνοις οἱ προσαλόντες ἐπιβατὸν ἡμῖν ἔργον

ποιή-

ποιήσουσι. παῖδάς τε οὖν αὐτῷ καὶ ἀδελφοὺς καὶ γονέας εὖ ποιοῦντάς γε καὶ ἀσπαζομένους. εἰ γὰρ δή, κατὰ τὴν παροιμίαν, καὶ τὸν εὐνοοῦντα καὶ κύων στέργει, πόσῳ δὴ μᾶλλον εὖ πάσχοντες ἄνθρωποι ἥμεροί τε καὶ τιθασοὶ γίνονται πρὸς τὸν εὖ ἐργαζόμενον; ἐπεὶ καὶ μέγας ὁ ἀγών, τό, τε θηρευόμενον οὐ λαγωός, οὐδὲ σῦς, οὐδὲ ἔλαφος, ἀλλὰ τὸ πάντων ζώων εὐκολώτατόν τε καὶ ἡμερώτατον. μιμείσθω οὖν πρὸς τὴν ἄγραν αὐτοῦ τοὺς κούφους θηρευτάς. καθάπερ οὖν ἐκεῖνοι φάττια τε καὶ τρυγόνια τιθασεύοντες, διὰ τούτων τὰ ὁμόφυλα γοητεύουσι, καὶ ἑκόντα ὑπάγονται εἰς τὸν ἰξὸν ἢ τοὺς βρόχους· ὧδε ἄρα δεῖ καὶ ἡμῖν τῶν ἤδη προηλωκότων φίλων τοὺς οὔπω τεθηρευμένους. οὐ γὰρ δὴ τῶν περιστερῶν μὲν αἱ ἐθάδες πολλάκις τινὰς καὶ ξένας ἐπάγονται. εἶεν. τὸ δὲ μετὰ τοῦτο λεκτέον ἡμῖν φυλακῆς πέρι καὶ ξυντηρήσεως τῶν θηρευθέντων. τί γὰρ ἂν εἴη κέρδος τῆς ἄγρας, εἰ κρατήσαντες αὐτῆς μὴ κατάσχοιμεν; φυλακτέα δὴ εὐθὺς ἐξ ἀρχῆς προθεμένοις σκοπόν, ᾧ ἂν χρώμενοι, μάλιστα ἐπιτυγχάνοιμεν. ἔστι δὲ οὗτος τὸ κοινῇ συμφέρον, καθάπερ ἐν οἰκίᾳ καὶ ἐν πόλει καὶ ἐν ταῖς ἄλλαις κοινωνίαις. οὐδὲν γὰρ δὴ τούτων σώζοιτ' ἄν, μὴ μετισχόντων ἑκάστου παντὸς τῶν πραττομένων. εἰς ἓν τοῦτο κεφάλαιον ἀναφέροντος. καὶ μὲν δὴ ἅπαντα ἐπιμελείας μὲν ἀπολαύοντα ἀμείνονά τε καὶ ὠφελιμώτερα γίνεται αὐτά τε αὐτοῖς καὶ τοῖς πεπαμένοις. ἀμείνων μὲν ἵππος, ἀμείνων δὲ βοῦς, ἀμείνων δὲ κύων, εἰ τὸν μὲν ἱπποκόμος, τὸν δὲ γεωργὸς θεραπεύοι, τὴν δὲ κυνηγέτης· ἀκημισία δὲ οὐχ ἵππον μόνον καὶ κύνα, ἀλλὰ καὶ ἀσπίδα καὶ λύραν καὶ δρέπανον διόλλυσι. οὕτω δὴ καὶ φιλίαν ἐπιμέλεια μὲν εὖ διατίθησι, ῥαθυμία δὲ ἀκροσφαλῆ καὶ σαθρὰν ἀπεργάζεται. μὴ γὰρ δὴ οἴου, εἰ μὲν οἰκίαν οἰκοδομήσαις, δεῖσθαι αὐτὴν καὶ συνεχοῦς θεραπείας, εἰ μὴ μέλλει τάχιστα διαρρυήσεσθαι· εἰ δὲ φίλον σεαυτῷ κατασκευάσαις, τοῦτον οὐ χρῄζειν συντηρούσης ἐπιμελείας. ἀλλ' ἄρα τὸ μὲν δωμάτιον οὐκ ἐάσεις ἀτημελές, εἴ τι αὐτοῦ κινηθείη ἢ χειμῶνος ἐπιβρίσαντος, ἢ πνεύματος ἐπιγενομένου, ἢ ὕδατος λάβρου καταρραγέντος. τὸν φίλον δὲ ἀφήσεις εἰκῇ, λύπης ἢ νόσου καταλαβούσης, ἢ τινὸς ἄλλης ξυμφορᾶς οὐκ εὐδαίμονος; καίτοι γε ὁ μὲν τοῖχος διαρρυεὶς οὐδὲν ἄν σε πλέον λυπήσειε τοῦ διερρυηκέναι, οὐδὲ τῶν ἄλλων ὀργάνων ἢ κτημάτων οὐδὲν αὐτοῦ τοῦ διολέσθαι χαλεπώτερον

ρον ἐργάσαιτο ἄν τι τὸν ῥᾳθυμήσαντα. φιλία δὲ παροφθεῖσα οὐ διαφθείρεται μόνον, ἀλλὰ καὶ γίγνεται ἔχθρα, ἐξ ἧς μάλιστα τὰ κακὰ τοῖς ἀνθρώποις συμβαίνει, ὅταν συμβαίνῃ. πολεμήσεις δὲ τῷ μετὰ ταῦτα οὐδενὶ καλῷ τε καὶ ἀγαθῷ, καὶ οἷόν σοι μικρῷ πρόσθεν ἐξεκαθήραμεν. ὥστε σοι πανταχόθεν ἀπορριπτέον τὸν ὄκνον, καὶ κοινωνητέον πόνων τε καὶ ἀγρυπνιῶν, κινδύνων τε αὖ καὶ δαπάνης καὶ ἀτιμίας. οὐ κληθέντα ἀναμένοντα εἰς τὴν κοινωνίαν, ἀλλ' αὐτομάτῳ θέοντα, καὶ προμαντευομένῳ τοῦ καιροῦ πολλάκις, καὶ πειρωμένῳ πρὸς ἑκάστην χρείαν τοῦ φίλου τὸ πρόσωπον οἰκεῖον μεταλαμβάνειν, ἐν ἀρρωστίᾳ μὲν, ἰατροῦ, ἐν δίκαις δὲ, συνηγόρου, συμβούλου δὲ ἁπανταχοῦ καὶ συνεργοῦ ἐπὶ τῇ γνώμῃ. πολλοῦ δὲ ὄντος τοῦ κατὰ τὸν βίον ἀνίσου τε καὶ ἀνωμάλου, καὶ τῆς ἀκριβοῦς ὁμοιότητος οὐδὲ πάμπαν εὑρισκομένης, (οὔπω λέγω κατὰ τὰ πρόσωπα· οὐδὲ γὰρ δέομαι ταύτης νῦν τῆς ποικιλίας· ἀλλὰ κατὰ τὴν ἔξωθεν τύχην πλούτου τε καὶ πενίας, ἐπιφανείας τε αὖ καὶ ἀδοξίας. τούτου γὰρ ἀνάγκη μὲν οὐδὲ τοὺς πάνυ φίλους ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν.) φιλία δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάσσονος ἐντίκτει. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπαρενεκτέον σοὶ καὶ τὸν φίλον· ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. εἰ δὲ σὺ μὲν ἐφέλκοιο, τὸν δὲ ἂν ἀνάγκη τις ἀντισπῴη, ἅμα ἐπιστρέφεσθαι πρὸς τὸ καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γὰρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γὰρ, ὥσπερ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης, τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν, ἀγαθὸν δὲ, ἐπαινεῖ, καὶ φίλον ἡγεῖται· ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ κομψὸν ἐνδέχομαι, παραινέσαιμι δ' ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν, καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μελέτην νομιστέον τὴν συνουσίαν. φιλονεικίαν γε μὴν καὶ τὸ δύσερι καὶ πάντων ἐκποδὼν μεταστατέον, οἷον σπέρματα ἔχθρας εὐλαβουμένους. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ' ἐν συναγωνισταῖς ἡ φιλία. τῷ τοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις ἢ τέχναις ἐνευδοκιμεῖν εἰκὸς τοὺς ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντιθεῖσα τῶν αὐτῶν ἐπαίνων ἠρέμα, ἀντιπαρεξάγειν εἰς ἅμιλλαν. εἰ δ' οὖν σε δαίμων

ξυζεύξειεν ἢ ῥήτορα ῥήτορι, ἢ ἰατρὸν ἰατρῷ, ἢ γραμματιστὴν γραμματιστῇ. μήτοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον, μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι καὶ σοφώτερον ἐπίσταιο, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἡ πρώτη προσήκει. καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμαζόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν πατέρα τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητά, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κότον ποιεῖ καὶ τὴν ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παρακινήσει· εἰ δὲ μή, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνεῖν τοῖς τοιούτοις ξυμβαίνει. ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης, (οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φυῆναί ποτε ἐν ἀνθρώποις οἵους τινὰς ἐκεῖνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώπους· ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον, ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· καὶ γὰρ τοῖς θεοῖς μόνοις τὰ πάντα κατορθοῦν ἀπονέμει) λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κολούειν, καὶ ὅπως ἰᾶσθαι εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος οὐδὲν μὲν οὐδαμῇ ἐγγύς, ταύτῃ δὲ μάλιστα πορρωτάτω, ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε. τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ χαρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σὲ τεθαύμακεν, ἀλλὰ τὰ χρήματά σου ἢ τὴν δυναστείαν. οὐκοῦν οὐδὲ αὐτῷ μέλει, ὅπως ἂν ἔχῃς, μέλει μὲν οὖν, ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος σοὶ μόνῳ προσέχει τὸν νοῦν, καὶ σοῦ μόνου ἥλω, καὶ βούλοιτο ἄν γε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα, καὶ ὡς μὴ σφόδρα λυποῦντας, μηδὲ ἐνδιδόντας. ἀλλ' ὥσπερ οἱ ἰατροὶ τὸ μὲν σιδήριον πολλάκις ἐῶσι, προστιθέμενοι δὲ φάρμακα ἄττα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται· οὕτω καὶ σοὶ τὸν φίλον θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις ἀντὶ καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρμακα ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παρρησίας, οὐχ οἱ γλυκεῖς καὶ πρὸς χάριν, (οὗτοι μὲν γὰρ τρέφουσι

καὶ ἄρδουσι τὸ νόσημα) ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ καὶ μεστοὶ παρρησίας οὐκ ὀνειδίζουσι, (πάμπολυ γὰρ διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπίπληξις δὲ ὀνείδους, οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ λόγῳ εὐνοίας καὶ παρρησίας) νουθετοῦντες, οὐ λοιδορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. φυλακτέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἠπίου τινὸς καὶ προσηνοῦς, οἷον μέλιτος πικρῷ μὲν, ὠφελίμῳ δὲ πόματι. ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό, τε φάρμακον ἀπορρίπτειν, καὶ τὸν ἰατρὸν ἀποκλείειν. ἰατροῦ δὲ ἐγὼ κακίαν λέγω τοιαύτην τε καὶ οὕτως εὑρίσκειν τὰ ἐπίκουρα τῶν νόσων, ὥστε ἐρεθίζειν τὰ ἀρρωστήματα. οὐκοῦν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἅπαντα ἐπινεύοντα τῷ κάμνοντι σιτία τε καὶ ποτὰ τὰ αὔξοντα καὶ ποικίλλοντα τὴν νόσον, οἰνοχόον ἢ τραπεζοποιὸν ἀντὶ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ τὸ σφόδρα. ἑκατέρα γὰρ ταῖν ἄλλοσέ ποι ἐκφέρει ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει, τῆς δ' ἐστὶν ἔχθραν ἡ τελευτή. διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμοποιὸν, οὗ ἀντιπαρεισρυῇ, καὶ πρὸς παῖδα πατέρι, καὶ πρὸς ἀδελφὸν ἀδελφῷ, καὶ τὸ δρᾶμα ἐκείνης καὶ ὁ Ἱππόλυτος, καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε ἐπιβουλεύει, καὶ ὃν ἐξαπατᾷ, τὸν μὲν, ὅτι πάσχει ὑπὲρ δίκην, τὸν δὲ, ὅτι ἐργάζεσθαι ἀναγκάζει· ἀλλὰ φιλίας ἐχθρίστατόν τε φύσει καὶ ἐπιβουλότατον ὑπὲρ τὰ ἄλλα. καὶ ὅπου ἂν αἴσθηται αὐτὴν εὐπραγοῦσαν, ἠρέμα εἰσοικισαμένη κατὰ σμικρὸν ὑπορύττει, καὶ ἐλέγχει τὴν ἄφρακτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀποκρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδομησαμένους τὸ φυλακτήριον· ὥστε πόρρωθεν αὐτῆς ἀφεστάναι τὰς ἐπιβουλάς. καὶ μάλιστα μὲν ἀποκλείειν προσιοῦσαν καὶ ἀπωθεῖσθαι· εἰ δ' οὖν σε λάθῃ παρεισδῦσα, μήτοι κατακρύπτειν εἰσδεξάμενον, μηδὲ ἐντὸς ἔχειν ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν. ὄψει γὰρ ἰλιγγιῶσαν εὐθέως, καὶ λυγιζομένην, καὶ βατταρίζουσαν, καὶ οὐκ ἔχουσαν ὅ,τι χρήσεται, καὶ εἰ τοῦτο ὑπομείνειεν ἅπαξ, οὐ μήποτε ἐνοχλήσει λοιπὸν, ἀλλ' οὐδ' ἂν ἀποπειράσειεν, οὐδ' ἂν προσέλθοι πλησίον. ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥδησίν τε προσιούσῃ, καὶ τὸ θύριον εὐμενῶς ἀναπετάζουσιν, οὗτοι δὲ ἥκιστα ἀπολαύουσι τῆς φιλανθρωπίας. ἐξίστανται γὰρ ὑπ'

αὐτῆς, καὶ οὐδὲν διαφέρουσι τῶν μεμηνότων. ἄθρει δὲ ὡς ὅμοια πάντα τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφορῶνται, οὓς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὑδάτια εὐλαβούμενοι, ἢ ὥσπερ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τραγῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα. τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτάτους, καὶ ἥδιστα ἂν κατακανοῖεν. τοῦτο αὖ πάλιν ἑτέρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλῃ μνημονεύειν ἐπωφελῶς, καὶ ὅσα εἰς διαβολὴν εὖ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι περιτίθησι, δολερῷ καὶ ἀνάνδρῳ θηρίῳ, ποιεῖ δὲ ὑπ᾽ αὐτῆς ἁλισκόμενα τῶν ζώων τὰ ἀλκιμώτατα. καὶ ὅντινα ἔχω πρόχειρον μῦθον εἴποιμ᾽ ἂν ὑμῖν, εἰ μου πρᾴως ἀνέξεσθαι παραβαλλομένου τοῖς σοφισταῖς. ταύρω δύο μιᾶς ἡγείσθην ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω· ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει· καὶ οὔτε αὐτοὺς ἐθάρρει, οὔτε διὰ αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος, ἔρχεται ἐπὶ τὴν κερδώ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥστε προσενεγκοῦσα τὴν μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμηνε κατ᾽ ἀλλήλοιν, καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐπρεπῆ καὶ εὔκολον θήραν. τοῦτο μὲν ἡ τοῦ Αἰσώπου κερδώ. φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας, καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπετάσμασιν· οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποσοβεῖν προσωτάτω, κηλούμεθα γὰρ πολλάκις καὶ γαννύμεθα δάκνουσι, τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ ἐθέλοντες διιδεῖν. ᾧ δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλεσθε. τεθέαμαι, οἶμαι, πολλαχοῦ σκύλλης εἰκόνα οὐχ οἵαν Ὅμηρος διηγεῖται. Ὅμηρος μὲν γὰρ οὐδέν τι λέγει πλέον περὶ τῆς μορφῆς, ἢ ὅτι τὸ θηρίον ἦν ἐν σπηλαίῳ διαιτώμενον, ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα χεῖρας· οἱ πλάσται δὲ ἔτι μᾶλλον κομψεύονται ἐν τῷ ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ᾽ ἄχρι κεφαλῆς ἄχρι λαγόνων, παρθένον, ἀπὸ δὲ τῆς ἰξύος, εὐθὺς εἰς τοὺς κύνας ἐκφερομένην, δεινοὺς ὄντας καὶ σμερδαλέους· καὶ τρίστιχοι μὲν αὐτῆς οἱ ὀδόντες, ἀνεστήκασι δὲ αἱ κεφαλαί, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαντεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βού-

λεσθαι

λεσθαι λέγειν, ὅτι ὁ μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς, καὶ οὐκ ἐγοήτευσεν αὐτὸν τὸ ἄνωθεν τοῦ θηρίου, ἀλλὰ παρετάξατο καὶ ὡπλίσατο, καὶ μάχεσθαι ἕτοιμος ἦν· οἱ δὲ ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅτῳ δὲ μὴ δοκεῖ οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ' ὁρᾷ μόνον τὸ φαινόμενον τοῦ μύθου, οὗτος ἐμοὶ δοκεῖ καὶ τὴν σκύλλαν ἰδὼν, τὴν μὲν ἄνθρωπον θεάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνηθῆναι. πῶς οὖν δὴ φυλαξόμεθα καὶ κρινοῦμεν φιλίας τε ἐτήτυμον πρόσωπον, καὶ κακουργίας εὔνοιαν ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικὸς, σύμβολα αὖ πάλιν καὶ σημεῖα διδοὺς, μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ, καταλίπω διορᾶν ὑμῖν αὐτοῖς τὰ ἐμφαινόμενα; ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρακλεῖ ἐφ' ἡσυχίας, ὁπηνίκα ἐξῆλθε τῶν μειρακίων, καὶ διασκοπουμένῳ ποῖός τις τῶν ἀνθρώπων, καὶ ποίᾳ χρησάμενος ἀτραπῷ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ, κακίαν. ἐπεὶ γοῦν εἰπάτην ἑκατέρα τὰ αὑτῆς ἀγαθὰ, καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη παραλαβοῦσα, ἵν' ἔτι καὶ μᾶλλον ἴδῃς, φησὶν, ὅτι ὀρθῶς δοκιμάζεις. ἄγει οὖν ἐπί τινα τόπον ὑψηλόν τε καὶ ἀνεστηκότα ἐξ εὐρέος τε καὶ ἀναπεπταμένου πεδίου, οὗ δύο μὲν ἦσαν αἱ κορυφαὶ, πόρρωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν τελευτὴν ἀπολήγειν. ἀλλ' ἦγε ἀρετὴ προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἔδειξέ τε τὰ ἄκρα πλεῖστον ἀπέχοντα ἀπ' ἀλλήλων, καὶ αὕτη μὲν, φησὶν, ἐπὶ δεξιᾷ κορυφὴ καλεῖται φιλίας ἱερὸς χῶρος, ἐμῆς συνοπαδοῦ τε καὶ ἀδελφῆς. αὕτη δ' ἡ ἐπὶ θατέρᾳ, ὑποκρίσεως, κακίας συννόμου δαίμονος. πρόσιθι οὖν ἀγχοῦ, καὶ ἐπισκόπει τὴν φύσιν ἑκατέρου τοῦ χωρίου, μή ποτε ἓν αὐτὸ πόρρωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευσε τὴν φρόνησιν συμπαροῦσαν ἐπιδεικνύναι τὰ ἕκαστα καὶ ἐξηγεῖσθαι. ἐδείκνυεν οὖν ἐκείνη τοὺς μὲν πρόποδας τοῖν λόφοιν σφόδρα τε ὁμοίους καὶ προσεοικότας ἀλλήλοιν, τοῖς αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς, εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔρρωτο χρόνον, τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔρρει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος· ἀλλὰ τὰ μὲν δι' ὅλου τοῦ ῥείθρου γλυκέα τε ἦν καὶ προσηνῆ, τὰ δὲ, κάτωθεν μὲν γινομένῳ γλυκύτερά τι ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς, πικρά τε καὶ φαρμα-

κώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χιόνος ἀπατηθεῖσι· τὰς κορυφὰς τε αὐτάς, οὐκέτι ὁμοίας, ἀλλὰ πάμπαν διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρώτην ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης, καὶ φυτῶν εὐκάρπων μεστήν· λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταρρηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον· καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ' ἡδονῆς τῷ αὐτῷ προσώπῳ. καθῆστο δὲ ἐπ' ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δέ, ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων. ἀμφίεστο δὲ λευκόν τινα κόσμον ἱερὸν διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῇ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς, καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας οὐ χρυσίον ἢ ἄργυρον προέτεινεν, ἀλλ' αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς, καὶ προσκυνήσας τοῦ ἵλεων τυγχάνειν· καὶ ἤρετο τὴν φρόνησιν, τίνες δὲ αἱ πλησίον αὐταὶ γυναῖκες; ὡς καλαί τε καὶ πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ. αὕτη μὲν, εἰπεῖν, ἡ τὸ πολὺ φῶς κατέχουσα, καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια· ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὐτῇ καὶ ἐπαναπαυομένη, καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὁ τὰ χρυσᾶ φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν δημιουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. οὔτε γὰρ πέτεσθαι βούλεται, καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτους ξυγκολλᾷ καὶ συνδεῖ· καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄρρηκτα παντελῶς, καὶ μόνοις γάννυνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί. καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξεικασμένα, ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον

τον, κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγας περιεῖχον, καὶ τινὲς ὀστῶν ἀνθρωπί-
νων σεσωρευμένοι, μετὰ δὲ ἅπαντα, δακετῶν θανασίμων καὶ ἰοβόλων.
ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυ-
τὴν τῇ φιλίᾳ. ἀλλ' ὅμως ἀντὶ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον
ὑπεγέγραπτο, ἀντὶ δὲ γαληνοῦ μειδιάματος, ὕπουλον ἐσεσήρει·
ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτῇ προσεποιεῖτο τῶν εἰσιόντων· οὐδε-
νὸς δὲ αὐτομάτου προσερχομένου, πόῤῥωθεν ἐκτρέχουσα ὑπέκυ-
πτε καὶ ἀπήντα, καὶ λιπαροῦσα ἀνῆγε. παρῆν δὲ αὐτῇ καὶ γυναικῶν
ὅμιλος, οὐδὲ ταῖς προτέραις ὅμοιαι. ἀπάτη, καὶ ἐπιβουλή, καὶ
δόλος ἀγεννής· ἀντὶ δὲ ἀληθείας ἐπιορκία παρῆν, ἰταμὴ καὶ θρα-
σεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ καὶ
συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ τὰς εἰσόδους οἷον
χωροῦσαν, ἤρετο τὴν φρόνησιν, ἥτις εἴη. κολακεία, ἔφη, πρόδρομος ὑπο-
κρίσεως. δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, περιπλέκε-
ται καὶ θαύματα δρᾷ, γοητεύουσα, πείθουσα θαρσεῖν τε καὶ ἀνιέναι. τίς
δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ σιώνους, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτο-
μένους τε καὶ ἀνοιμώζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ
σφόδρα εὔκαιρος δαίμων. ὅπως δὲ τινας οὐκ ἐᾷ
πάμπαν ὑπὸ τῶν ἑρπετῶν ἀπομυζηθῆναι,
ἀλλ' ἀνίστησιν ἔτι πνέοντας, καὶ οἴ-
καδε ἀποσώζει.

## ΣΩΚΡΑ'ΤΟΥΣ ΠΕΡΙ` ΦΙΛΙ'ΑΣ ΛΟ'ΓΟΣ
παρὰ Ξενοφῶντι ἀπομνημ. β.

Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε
ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρεί-
αν. τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημά-
των κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελου-
μένους

μένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα, καὶ σκεύη κτωμένους καὶ ἐπιμελῶς ὁρᾶν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους· φίλον δὲ, ὃ μέγιστον ἀγαθὸν εἶναι φασὶν, ὁρᾶν ἔφη τοὺς πολλοὺς, οὔτε ὅπως κτήσωνται φροντίζοντας. οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζοντας. ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾶν τινας ἔφη, τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας, καὶ τἄλλα πρὸς ὑγείαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας· ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι. καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον, οὐδ' ἀνεπίσκεπτον, τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας. ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, τὸ πλῆθος εἰδότας. τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἐθεάσαντο, πάλιν τούτοις ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν. καί τοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον; ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ, καὶ τῆς τῶν ἰδίων κατασκευῆς, καὶ τῶν κοινῶν πράξεων· καὶ ἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει· ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων· καὶ τὰ μὲν, συμπείθων, τὰ δὲ, βιαζόμενος· καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ, πλεῖστα ἐπανορθῶν. ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ ὀφθαλμοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται. πολλάκις ἃ πρὸς αὐτοῦ τις ἢ οὐκ ἐξειργάσατο, ἢ οὐκ εἶδεν, ἢ οὐκ ἤκουσεν, ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸς τοὺς φίλους ἐξήρκεσεν· ἀλλ' ὅμως ἔνιοι μὲν δένδρα πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν. τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231731-p0018-5

155592

X220Y159

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231731-p0019-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231731-p0020-6

# ΘΕΜΙΣΤΙΟΥ

## περὶ φιλίας λόγος.

Τί δήποτε, ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλησπόντου κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν, ἀρξαμένους ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν, καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστωνται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ᾽ αὐτῶν συμφοράς· τῶν δὲ ὑπὲρ φιλίας λόγων, καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν, οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν, οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής· ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴσως σφόδρα ὀλίγου ἄξιος ὤν· ὅτῳ δὲ εὐπρεπὲς εἶναι δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
Πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους.

τί οὖν ἐστιν, ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε, (φιλήκοοι γάρ ἐστε, καὶ πᾶν ἀκούετε προθύμως ὅ,τι ἄν τις λέγῃ) λέγουσι δὲ οὐ ταῦτα οἱ λέγοντες· ἀλλ᾽ οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν δεινότητα, οἱ δ᾽ ᾄδουσι καὶ προσᾴδουσι, γλυκεῖάν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν· λόγους δὲ, δι᾽ οὓς ἂν ἄνθρωποι ἄμεινον ζῶσιν, οὐ σφόδρα εὐπορεῖν μοι δοκεῖτε, οὐχ ὑμετέρᾳ κάκῃ, τῶν δὲ λεγομένων φιλοσοφεῖν, οἳ σφίσιν ἀποχρῆν ὑπειλήφασιν ἐν γωνίᾳ μόνῃ, πρὸς τὰ μει-